ἄγριον Ἀρχιλόχου φλέγμα Λυκαμβιάδες,
πῶς οὐκ ἂν προλίποι σκοτίων πυλεῶνας ἐναύλων
νεκρὸς ἅπας φεύγων τάρβος ἐπεσβολίης;

90 (49 Lass.) Iulianus Imp., Orat. 7 207 b-c (II, 1, p. 47 Rochefort)

ὁ δὲ μετὰ τοῦτον (scil. Ἡσίοδον) Ἀρχίλοχος ὥσπερ ἥδυσμά τι περιτιθεὶς τῇ ποιήσει, μύθοις <οὐκ> ὀλιγάκις ἐχρήσατο ὁρῶν, ὡς εἰκός, τὴν μὲν ὑπόθεσιν, ἣν μετῄει, τῆς τοιαύτης ψυχαγωγίας ἐνδεῶς ἔχουσαν, σαφῶς δὲ ἐγνωκὼς ὅτι στερομένη μύθου ποίησις ἐποποιία μόνον ἐστίν, ἐστέρηται δέ, ὡς ἂν εἴποι τις, ἑαυτῆς· οὐ γὰρ ἔτι λείπεται ποίησις· ἡδύσματα ταῦτα παρὰ τῆς ποιητικῆς Μούσης ἐδρέψατο, καὶ παρέθηκέ γε αὐτὸς τούτου χάριν, ὅπως μὴ σιλλογράφος τις, ἀλλὰ ποιητὴς νομισθείη.

91 Iulianus Imp., Orat. 7 226 d - 227 a (II, 1, p. 74 Rochefort)

ἀλλ' ὁ μὲν μῦθος, μῦθός ἐστι παλαιός, ἐφήρμοσας δὲ αὐτὸν σὺ πράγμασιν ἑτέροις, ὅπερ οἶμαι ποιεῖν εἰώθασιν οἱ τῇ τροπικῇ χρώμενοι τῶν νοημάτων κατασκευῇ· πολὺς δὲ ἐν τούτοις ὁ Πάριός ἐστι ποιητής.

92 Iulianus Imp., Epist. 80 (I. 2, p. 89 Bidez)

τίς γὰρ ἀσέλγεια, τίς ὕβρις, τίς προπηλακισμός, τίς λοιδορία, τίς αἰσχρορρημοσύνη ταῖς ἐμαῖς ἐπιστολαῖς ἐνεγράφη ποτέ; ὅς γε, καὶ εἰ πρός τινα τραχύτερον εἶχον, διδούσης μοι τῆς ὑποθέσεως ὥσπερ ἐξ ἁμάξης εἰπεῖν οἷα ψευδῶς ἐπὶ τοῦ Λαυδακίδου (Λυκάμβου Weil) Ἀρχίλοχος, σεμνότερον αὐτὰ καὶ σωφρονέστερον ἐφθεγξάμην ἢ εἴ τις ἱερὰν ὑπόθεσιν μετήει.

93 (27 Lass.) Iulianus Imp., Fr. epist. 89 b, 300 c (I, 2, p. 168 Bidez)

ἱερωμένος τις μήτε Ἀρχίλοχον ἀναγιγνωσκέτω μήτε Ἱππώνακτα μήτε ἄλλον τινὰ τῶν τὰ τοιαῦτα γραφόντων.

94 (50 Lass) Iulianus Imp., Misopog. 1, 337 a (II, 2, p. 156 Lacombrade)

Ἀνακρέοντι τῷ ποιητῇ πολλὰ ἐποιήθη μέλη χαρίεντα· τρυφᾶν γὰρ ἔλαχεν ἐκ Μοιρῶν. Ἀλκαίῳ δ᾽ οὐκέτι οὐδ᾽ Ἀρχιλόχῳ τῷ Παρίῳ τὴν μοῦσαν ἔδωκεν ὁ θεὸς εἰς εὐφροσύνας καὶ ἡδονὰς τρέψαι· μοχθεῖν γὰρ ἄλλοτε ἄλλως ἀναγκαζόμενοι τῇ μουσικῇ πρὸς τοῦτο ἐχρῶντο, κουφότερα ποιοῦντες αὐτοῖς ὅσα ὁ δαίμων ἐδίδου τῇ εἰς τοὺς ἀδικοῦντας λοιδορίᾳ.

95 (14 b Lass.) Libanius, Orat. 1, 74 (I, p. 119 Foerster)

ηὐξημένης δὴ τῆς δόξης μυρίων τε ἡμᾶς ἐπαινούντων στομάτων ὄντων τε τῶν καὶ τοῦτο λεγόντων, ὡς συνείην ἀνθρώποις οὓς ἐξέβαλεν ἂν κατὰ τὸν Ἀρχιλόχου φονέα τοῖς χρησμοῖς ὁ Πύθιος, ἐπικειμένων τε τῶν ἔξω τῆς αἰτίας τοῖς ἐν αὐτῇ γίνονται πρὸς τὸν ὕπαρχον ἱκετεῖαι τῆς ἐμῆς ἀποδόσεως πέρι.

96 (32 Lass.) Libanius, Orat. 39, 24 (III, p. 276 Foerster)

ἔστι γὰρ δὴ καὶ γλῶττα καὶ δόσις παρὰ Μουσῶν οἵα ἂν παρὰ Μουσῶν γένοιτο. † ὁ δ' οὖν [ ] ἐπιγραμμάτων μείζων ἢ [ ] 'Αντίοχε. Ἢν οὖν ταῦτα τείνῃς τὰ τόξα, σαυτόν τε παραμυθήσῃ καὶ διδάξεις ἐκεῖνον, ὅτι ἄρα οἶσθα τὸν 'Αρχίλοχον.

97 (53 Lass.) Libanius, Orat. 64, 20 (IV, p. 433 Foerster)

καὶ μὴν τήν γε μουσικὴν ἀκούομεν μέχρι μὲν 'Αρχιλόχου καὶ τῶν χρόνων ἐκείνων ἁπλῆν τινα καὶ φαύλην εἶναι, χωροῦντος δὲ τοῦ χρόνου πρὸς ἐπίδοσιν ἐλθεῖν.

98 (14 b Lass.) Libanius, Declam. 1, 180 (V, p. 118 Foerster)

φέρε, εἴ του πιέζοντος, ὃ μὴ γένοιτο, <ἥκοιτε> ζητοῦντες παρὰ τοῦ θεοῦ, καθάπερ ἔμπροσθεν, λύσιν, ὁ δ' ὑμᾶς, ὥσπερ τὸν 'Αρχιλόχου φονέα, διαρρήδην ἐξελαύνοι τοῦ νεὼ Μουσῶν ὑμᾶς ἀπεκτονέναι καὶ αὐτοῦ θεράποντα ὑπειπών, καλήν γ' ἂν εἴημεν δόξαν ἐν τοῖς Ἕλλησιν ἐσχηκότες.

99 (42 Lass.) Longinus, π. εὑρέσεως IX, p. 559 Walz

ἑκάτερον γὰρ αὐτῶν (scil. 'Ομήρου ποιημάτων) ἔχει λόγον εὐπετῆ· τοιοῦτον καὶ 'Αρχιλόχῳ τῷ Παρίῳ· καὶ γὰρ οὗτος ἤσκηται.

100 (26 Lass.) Lucianus, Adv. indoct. 27 (122)

ἡδέως δ' ἂν καὶ ἐροίμην σε, τὰ τοσαῦτα βιβλία ἔχων τί μάλιστα ἀναγιγνώσκεις αὐτῶν; τὰ Πλάτωνος; τὰ Ἀντισθένους; τὰ Ἀρχιλόχου; τὰ Ἱππώνακτος; ἢ τούτων μὲν ὑπερφρονεῖς ....;

101 Lucianus, Pseudologista 1-2 (162-163)

τὸ δὲ τοῦ Ἀρχιλόχου ἐκεῖνο ἤδη σοι λέγω, ὅτι τέττιγα τοῦ πτεροῦ συνείληφας, εἴπερ τινὰ ποιητὴν ἰάμβων ἀκούεις Ἀρχίλοχον, Πάριον τὸ γένος, ἄνδρα κομιδῇ ἐλεύθερον καὶ παρρησίᾳ συνόντα, μηδὲν ὀκνοῦντα ὀνειδίζειν, εἰ καὶ ὅτι μάλιστα λυπήσειν ἔμελλε τοὺς περιπετεῖς ἐσομένους τῇ χολῇ τῶν ἰάμβων αὐτοῦ. Ἐκεῖνος τοίνυν πρός τινος τῶν τοιούτων ἀκούσας κακῶς τέττιγα ἔφη τὸν ἄνδρα εἰληφέναι τοῦ πτεροῦ, εἰκάζων ἑαυτὸν τῷ τέττιγι ὁ Ἀρχίλοχος φύσει μὲν λάλῳ ὄντι καὶ ἄνευ τινὸς ἀνάγκης, ὁπόταν δὲ καὶ τοῦ πτεροῦ ληφθῇ γεγωνότερον βοῶντι. Καὶ σύ δή, ἔφη, ὦ κακόδαιμον ἄνθρωπε, τί βουλόμενος ποιητὴν λάλον παροξύνεις ἐπὶ σεαυτὸν αἰτίας ζητοῦντα καὶ ὑποθέσεις τοῖς ἰάμβοις; Ταῦτά σοι καὶ αὐτὸς ἀπειλῶ οὐ μὰ τὸν Δία τῷ Ἀρχιλόχῳ εἰκάζων ἑαυτόν — πόθεν; πολλοῦ γε καὶ δέω — σοὶ δὲ μυρία συνειδὼς ἰάμβων ἄξια βεβιωμένα, πρὸς ἅ μοι δοκεῖ οὐδ' ὁ Ἀρχίλοχος αὐτὸς διαρκέσαι προσπαρακαλέσας καὶ τὸν Σιμωνίδην καὶ τὸν Ἱππώνακτα συμποιεῖν μετ' αὐτοῦ κἂν ἕν τι τῶν προσόντων σοι κακῶν. Οὕτως σύ γε παῖδας ἀπέφηνας ἐν πάσῃ βδελυρίᾳ τὸν Ὀροδοικίδην καὶ τὸν Λυκάμβην καὶ τὸν Βούπαλον, τοὺς ἐκείνων ἰάμβους.

102 Lucianus, Amores 3 (401)

τὴν φωνὴν δ' ἴσην τῇ Λυκάμβου θυγατρὶ λεπτὸν ἀφηδύνων.

103 Lucilius 27, 698 Marx

metuo ut fieri possit : ergo ‹anti›quo ab Arciloco excido re in secunda tollere animos, in mala demittere.

104 Marius Victorinus, Ars gramm. 3 (VI, p. 137 Keil)

quo dimetro (scil. iambico) etiam Archilochus carmen composuit in Lycambam et filias.

105 Marius Victorinus, Ars gramm. 4 (VI, p. 143 Keil)

adeo fecundus varietate carminum et singularis artificii in excogitandis novis metris hic auctor (scil. Archilochus) est, ut et ceteris vatibus immutationis suae in componendis metris observantiam parem studiosa aemulatione praestiterit. Nam plerique sequentis aevi his informati metrorum figurationibus et quibusdam aliis auctore Archilocho varias numerorum species et ipsi commenti posteris tradiderunt.

106 Martialis 7, 12, 6

si qua Lycambeo sanguine tela madent.

107 Maximus Tyr., Philosophum. 18, 9 (p. 230 Hobein)

τὸν δὲ Ἀρχιλόχου ἔρωτα, ὑβριστὴς γάρ, χαίρειν ἐῶ.

108 Meleagros, Anth. Pal. 4, 1, 37

ἐν δὲ καὶ ἐκ φορβῆς σκολιότριχος ἄνθος ἀκάνθης
Ἀρχιλόχου, μικρὰς στράγγας ἀπ' Ὠκεανοῦ.

109 Meleagros, Anth. Pal. 7, 352

δεξιτερὴν Ἀίδαο θεοῦ χέρα καὶ τὰ κελαινὰ
ὄμνυμεν ἀρρήτου δέμνια Περσεφόνης
παρθένοι ὡς ἔτυμον καὶ ὑπὸ χθονί, πολλὰ δ' ὁ πικρὸς
αἰσχρὰ καθ' ἡμετέρης ἔβλυσε παρθενίης
Ἀρχίλοχος· ἐπέων δὲ καλὴν φάτιν οὐκ ἐπὶ καλὰ
ἔργα, γυναικεῖον δ' ἔτραπεν ἐς πόλεμον.
Πιερίδες, τί κόρῃσιν ἐφ' ὑβριστῆρας ἰάμβους
ἐτράπετ', οὐχ ὁσίῳ φωτὶ χαριζόμεναι;

110 (7 Lass.) Menaechmus Sicyon. ap. Athen. 14, 42 (637 f)

τὴν δὲ ψιλὴν κιθάρισιν πρῶτόν φησι Μέναιχμος εἰσαγαγεῖν Ἀριστόνικον τὸν Ἀργεῖον, τῇ ἡλικίᾳ γενόμενον κατὰ Ἀρχίλοχον, κατοικήσαντα ἐν Κορκύρᾳ.

111 (35 Lass.) Menander rhet., π. ἐπιδεικτ. IX, p. 254 Walz

καὶ Ἀρχιλόχου δὲ οὐκ ἀμελήσεις, ἱκανῶς κολάσαντος τοὺς ἐχθροὺς τῇ ποιήσει, ἵνα καὶ αὐτὸς ὅταν ἐθέλῃς ψέγειν τινάς, ἔχῃς ἀποχρήσασθαι τἀνδρί.

112 Moschus 3, 92

σὲ πλέον Ἀρχιλόχοιο ποθεῖ Πάρος.

113 (3 Lass.) Nepos Cornelius ap. Gell., Noct. Att. 17, 21, 8

Archilochum autem Nepos Cornelius tradit Tullo Hostilio Romae regnante iam tunc fuisse poematis clarum et nobilem.

114 Oenomaus [F. Ph. G., fr. 11 (II, p. 374 Mullach)] apud Euseb., Praep. evang. 5, 31, 1 (I, p. 279 Mras)

Ἀντιόχῳ τῷ Παρίῳ ἀποβαλόντι τὴν οὐσίαν ἐν πολιτικῇ φλυαρίᾳ καὶ ὑπὸ λύπης ἥκοντι πρός σε (scil. παραινῶ) λέγειν·
Ἀντιόχ', εἰς Θάσον ἐλθὲ καὶ οἴκει εὐκλέα νῆσον.

Ἀρχιλόχῳ et Ἀρχίλοχ' Holsten collato Steph. Byz. s. v. Θάσος.

115 (11 c; 14 b Lass.) Oenomaus [F. Ph. G., fr. 11 (II, p. 374 Mullach)] ap. Euseb. Praep. evang. 5, 32-39, 9 (I, pp. 280-282 Mras)

φέρε δὲ τούτοις προσθῶμεν καὶ δι' ὧν αὖθις ὁ Ἀπόλλων θαυμάζει τὸν Ἀρχίλοχον, ἄνδρα παντοίαις κατὰ γυναικῶν αἰσχρορρημοσύναις καὶ ἀρρητολογίαις, ἅς οὐδ' ἀκοῦσαί τις σώφρων ἀνὴρ ὑπομείνειεν, ἐν τοῖς οἰκείοις ποιήμασι κεχρημένον ....

Ἀθάνατός σοι παῖς καὶ ἀοίδιμος, ὦ Τελεσίκλεις,
ἔσσετ' ἐν ἀνθρώποις·

ὁ δὲ παῖς ἦν Ἀρχίλοχος .... Τί ποτ' οὖν ἦν τοῦτο δι' ὅ σοι Ἀρχίλοχος ἔδοξεν ἄξιος εἶναι τοῦ οὐρανοῦ; .... Τί πράττειν κελεύεις ἡμᾶς; ἢ δηλαδὴ τὰ Ἀρχιλόχου, εἰ μέλλομεν ἄξιοι φανεῖσθαι τῆς ὑμετέρας ἑστίας, λοιδορῆσαι μὲν πικρῶς τὰς οὐκ ἐθελούσας ἡμῖν γαμεῖσθαι, ἅψασθαι δὲ καὶ τῶν κιναίδων, ἐπειδὴ τῶν ἄλλων πονηρῶν πολὺ πονηρότεροί εἰσιν· οὐχὶ δίχα μέτρου, αὕτη γὰρ διάλεκτος καὶ θεῶν, ὥσπερ οὖν καὶ θείων ἀνδρῶν, ὥσπερ Ἀρχιλόχου .... Οὐκ ἀπεικότως ἄρα σοι καὶ Μουσῶν θεράπων ἔδοξεν εἶναι, καὶ ὁ φονεὺς αὐτοῦ οὐκ ἄξιος εἶναι τῆς πρὸς ὑμᾶς τοὺς θεοὺς εἰσόδου οὐδὲ τῆς παρ' ὑμῶν φωνῆς, ἄνδρα φωνάεντα ἀποκτείνας. Οὔκουν ἄδικος ἡ πρὸς τὸν Ἀρχίαν ἀπειλὴ οὐδ' ἄκαιρος ἡ Πυθία τιμωροῦσα Ἀρχιλόχῳ τῷ πάλαι νεκρῷ καὶ κελεύουσα ἐξιέναι τοῦ ναοῦ τὸν ἐναγῆ· « Μουσάων » γὰρ ἀπέκτεινεν « θεράποντα ».

116 (13 Lass.) Oenomaus [F. Ph. G., p. 14 (II, p. 380 Mullach)] ap. Euseb., Praep. evang. 6, 7, 8 (I, p. 314 Mras)

ἄγγειλον Παρίοις, Τελεσίκλεες, ὥς σε κελεύω
νήσω ἐν Ἠερίῃ κτίζειν εὐδείελον ἄστυ.

Ἀγγελῶ νὴ Δία (φήσει τάχα πού τις τετυφωμένος ἤ σὲ ἐλέγχων), κἂν μὴ κελεύσῃς· πέπρωται γάρ. Καὶ ἔστι Θάσος μὲν ἡ Ἠερία νῆσος· ἥξουσι δ' ἐπ' αὐτὴν Πάριοι, Ἀρχιλόχου τοῦ ἐμοῦ υἱοῦ φράσαντος ὅτι ἡ νῆσος αὕτη πρὶν Ἠερία ἐκαλεῖτο. Σὺ οὖν, δεινὸς γὰρ ἐπεξελθεῖν, οὐκ ἀνέξῃ, οἶμαι, αὐτοῦ οὕτως ὄντος ἀχαρίστου καὶ θρασέος, ὅς, εἰ μὴ σὺ μηνύσαι αὐτῷ ἐβουλήθης, οὐκ ἄν ποτε ἤγγειλεν οὐδ' ἂν Ἀρχίλοχος ὁ υἱὸς αὐτοῦ Παρίους ἐξενάγησεν οὐδ' ἄν οἱ Πάριοι Θάσον ᾤκησαν.

117 (14 b Lass.) Origenes, Contra Celsum 3, 25 (I, p. 221 Koetschau)

καὶ ἐν τοῖς χρησμοῖς δὲ τοῦ Πυθίου εὕροις ἂν προστασσόμενά τινα οὐκ εὔλογα .... « Μουσῶν θεράποντα » εἰπὼν τὸν Ἀρχίλοχον, ἄνδρα ἐν κακίστῃ καὶ ἀσελγεστάτῃ ὑποθέσει ἐπιδειξάμενον τὴν ἑαυτοῦ ποιητικὴν καὶ ἦθος ἀσελγὲς καὶ ἀκάθαρτον παραστήσαντα, ὅσον ἐπὶ τῷ « θεράποντα » εἶναι « Μουσῶν », νομιζομένων εἶναι θεῶν, εὐσεβῆ τινα ἀνηγόρευσεν. Οὐκ οἶδα δὲ εἰ καὶ ὁ τυχὼν τὸν εὐσεβῆ φήσει μὴ πάσῃ κεκοσμῆσθαι μετριότητι καὶ ἀρετῇ, καὶ κόσμιος τοιαῦτα λέγοι ἄν, ὁποῖα περιέχουσιν οἱ μὴ σεμνοὶ τοῦ Ἀρχιλόχου ἴαμβοι.

118 (8 Lass.) Orion s. v. ἔλεγος 58, 8 Sturz

εὑρετὴ<ν> δὲ τοῦ ἐλεγείου οἱ μὲν τὸν Ἀρχίλοχον, οἱ δὲ Μίμνερμον, οἱ δὲ Καλλῖνον παλαιότερον (scil. φασί).

119 Ovidius, Ibis 53

postmodo, si perges, in te mihi liber iambus
tincta Lycambeo sanguine tela dabit.

120 Ovidius, Ibis 521

utque repertori nocuit pugnacis iambi
sic sit in exitium lingua proterva tuum.

121 (15 Lass.) Pausanias 10, 28, 3 (866)

ἐπὶ τοῦτο οὖν Πολύγνωτος γέροντα ἔγραψε ἤδη τῇ ἡλικίᾳ τὸν Χάρωνα.... Τέλλις μὲν ἡλικίαν ἐφήβου γεγονὼς φαίνεται, Κλεόβοια δὲ ἔτι παρθένος, ἔχει δὲ ἐν τοῖς γόνασι κιβωτὸν ὁποίας ποιεῖσθαι νομίζουσι Δήμητρι. Ἐς μὲν δὴ τὸν Τέλλιν τοσοῦτον ἤκουσα ὡς ὁ ποιητὴς Ἀρχίλοχος ἀπόγονος εἴη τρίτος Τέλλιδος, Κλεόβοιαν δὲ ἐς Θάσον τὰ ὄργια τῆς Δήμητρος ἐνεγκεῖν πρώτην ἐκ Πάρου φασίν.

122 Pausanias 10, 31, 12 (876)

ὑπὸ τούτῳ δὲ τῷ πίθῳ Τάνταλος καὶ ἄλλα ἔχων ἐστὶν ἀλγεινὰ ὁπόσα Ὅμηρος ἐπ' αὐτῷ πεποίηκεν, ἐπὶ δὲ αὐτοῖς πρόσεστίν οἱ καὶ τὸ ἐκ τοῦ ἐπηρτημένου λίθου δεῖμα. Πολύγνωτος μὲν δῆλός ἐστιν ἐπακολουθήσας τῷ Ἀρχιλόχου λόγῳ· Ἀρχίλοχος δὲ οὐκ οἶδα εἴτε ἐδιδάχθη παρὰ ἄλλων τὰ ἐς τὸν λίθον εἴτε καὶ αὐτὸς ἐς τὴν ποίησιν ἐσηνέγκατο.

123 (6 Lass.) Phanias Eres. apud Clem. Alex., Strom. 1, 21, 131 (II, p. 81 Stählin[3])

Φανίας δὲ πρὸ Τερπάνδρου τιθεὶς Λέσχην τὸν Λέσβιον Ἀρχιλόχου νεώτερον φέρει τὸν Τέρπανδρον.

124 Philodemus, De poem. 2, fr. 1 [p. 237 Hausrath, Jahrb. Cl. Ph. Suppl.-B. 17 (1889)]

ὅ κἀμοί μάχεται, ἀπόδειξιν τοίνυν ἐπαγγειλάμενος, ὅτι οἱ ἀγαθοὶ ποηταὶ πα[ρ'] οὐδὲν ἄλλο πρωτεύουσίν τε καὶ μόνοι διαμένουσιν ἢ παρὰ τοὺς ἤχους, καὶ ἐν ἄλ[λοις ε]ἰπὼν π[α]ρεστακέν<α>ι, ὅτι μόνοι ταὐτοπο[ιοῦ]σιν Ὅμηρός τε καὶ Ἀ[ρ]χ[ίλο]χος καὶ Εὐ[ρι]πίδης.

125 (46 Lass.) Philodemus, De poem. 2, fr. 28 (p. 251 Hausrath)

διοίσει δὲ οὐδέν, φησίν, οὐδὲ ἂν Ἀρχίλοχον ἢ Εὐριπίδην ἢ ἄλλον τινὰ Ὁμήρῳ συμβάλλωμεν, <ἢ ἂν> μόνον ἑκατέρου τὴν ἐπαινουμένην ἀντιπαρατιθῶμεν λέξιν.

126 (47 Lass.) Philodemus, De poem. 2, fr. 29 (p. 252 Hausrath)

οἱ γ[ὰρ] ἰαμβοποιοὶ τραγικὰ ποιοῦσιν καὶ οἱ τραγῳδοποιοὶ πάλιν ἰαμβικά, καὶ Σαπφώ τινα ἰαμβικῶς ποιεῖ, καὶ Ἀρχίλοχος οὐκ ἰαμβικῶς ὥστε φύσει μὲν [οὐ ῥ]ητέον ἰαμβοποιὸν [ἢ ἄλλ]ο τι ποιοῦντα γένος ἀλλὰ νόμῳ.

127 (44 Lass.) Philodemus, De poem. 4, P. Herc. 207 col. 4 (Voll. Herc. C. A. 2, 152)

ἀνθρ[ωπ]ικωτέρας Ἀ[ρ]χ[ί]λοχόν [τε καὶ] Ἀριστοφ[άνη]ν [μεμειμῆσθαι πράξει]ς (scil. φησίν) ὧν [ὁ] μὲν Ἀρχίλοχ[ο]ς οὐδ' ἂν μεμειμῆσθαι.

128 Philodemus, De poem. P. Herc. 1074, col. 105 (voll. Herc. C. A. 4, 201)

ἀλλ' ἐξ ὅτου τὸν Ἀρχίλοχον ἐθαύμαζε (scil. ἡ Ἑλλάς), καὶ τὸν Ἱππώνακτα καὶ τὸν Σημωνίδην καὶ τῶν παρ' Ὁμήρῳ καὶ Εὐρειπίδει καὶ τοῖς ἄλλοις ποιηταῖς ἔνια πονηροῖς προσώποις περικείμενα καὶ περὶ πονηρῶν πραγμάτων γεγραμμένα, καὶ κατεγέλα χρηστοῖς περικείμενα, καὶ περὶ χρηστῶν ἀκούουσα πραγμάτων οὕτως ἐπέπειστο, καὶ ποητὴν μὲν ἀγαθὸν ὑπελάμβανε τὸν ἐξεργασάμενον, ὡς ἔφην, ὁποῖόν ποτ' ἂν διανόημα λάβῃ παρ' ἑτέρων ἢ αὐτὸς προθῆται, τάχα δὲ ἄνθρωπον πονηρὸν καὶ τὸν δ' ἐνέγκαντα διανοήματα χρηστά, μὴ καλλωπίσαντα δ' οὕτω.

129 (45 Lass.) Philodemus, De poem. P. Herc. 407, fr. 2 (voll. Herc. C. A. 9, 31, fr. 2)

οὐ μαχετέον οἷον εὐθέως ἐδί[δαξα] προσδοξάζωσιν τὴν μίμησιν ὠφελεῖν καὶ μεγάλα διενεκτέον· [ἐπὶ] τῷ δὲ Ἀρχιλόχῳ ἀγαθὸν εἶναι πο[ητήν, τού]τοις οὔτε ἀνικ[ήτως ἀποφ]ατέον καὶ χε[

130 Philodemus, De poem. P. Herc. 466, fr. 2 (voll. Herc. C. A. 10, 2, fr. 2)

Ὁμήρου καὶ Ἀρχιλό[χ]ου φῆσαι — Καὶ οἱ κακοὶ [π]ολλάκι μὲν τοὺς αὐτούς, [πολλά]κι δὲ καὶ βελ[τί]ονας [τῶν ἀ]γαθῶν ὑποτίθεν[ται.

131 Philostratus, Imagines 1, 3 (II, p. 298 Kayser)

φοιτῶσιν οἱ μῦθοι παρὰ τὸν Αἴσωπον ἀγαπῶντες αὐτόν, ὅτι αὐτῶν ἐπιμελεῖται. Ἐμέλησε μὲν γὰρ καὶ Ὁμήρῳ μύθου καὶ Ἡσιόδῳ, ἔτι δὲ καὶ Ἀρχιλόχῳ πρὸς Λυκάμβην.

132 Pindarus, Ol. 9, 1

τὸ μὲν Ἀρχιλόχου μέλος
φωνᾶεν Ὀλυμπίᾳ, καλλίνικος ὁ τριπλόος κεκλαδώς.

133 (16 Lass.) Pindarus, Pyth. 2, 52

ἐμὲ δὲ χρεὼν
φεύγειν δάκος ἀδινὸν κακαγοριᾶν.
Εἶδον γὰρ ἑκὰς ἐὼν τὰ πόλλ' ἐν ἀμαχανίᾳ
ψογερὸν Ἀρχίλοχον βαρυλόγοις ἔχθεσιν
πιαινόμενον.

134 (22 Lass.) Plato, Ion 531 a - 532 a

ΣΩ. · πότερον περὶ Ὁμήρου μόνον δεινὸς εἶ ἢ καὶ περὶ Ἡσιόδου καὶ Ἀρχιλόχου; .... Οὐκοῦν σὺ φῄς καὶ Ὅμηρον καὶ τοὺς ἄλλους ποιητάς, ἐν οἷς καὶ Ἡσίοδος καὶ Ἀρχίλοχός ἐστιν, περί γε τῶν αὐτῶν λέγειν, ἀλλ' οὐχ ὁμοίως, ἀλλὰ τὸν μὲν εὖ, τοὺς δὲ χεῖρον;

135 Plato, Resp. 2 (365 c)

τὴν δὲ τοῦ σοφωτάτου Ἀρχιλόχου ἀλώπεκα ἑλκτέον ἐξόπισθεν κερδαλέαν καὶ ποικίλην.

136 Plinius Sen., Nat. hist. 7, 29 (109)

Archilochi poetae interfectores Apollo arguit Delphis.

137 (14 b Lass.) Plutarchus, Num. 4, 9 (62 c)

ἀπέδωκε δέ τινα τιμὴν καὶ Ἀρχιλόχῳ καὶ Ἡσιόδῳ τελευτήσασι διὰ τὰς Μούσας τὸ δαιμόνιον.

138 Plutarchus, Pericl. 2 (153 a)

οὐδεὶς εὐφυὴς νέος ἢ τὸν ἐν Πίσῃ θεασάμενος Δία γενέσθαι Φειδίας ἐπεθύμησεν, ἢ τὴν Ἥραν τὴν ἐν Ἄργει Πολύκλειτος, οὐδ' Ἀνακρέων ἢ Φιλήμων ἢ Ἀρχίλοχος ἡσθεὶς αὐτῶν τοῖς ποιήμασιν. Οὐ γὰρ ἀναγκαῖον, εἰ τέρπει τὸ ἔργον ὡς χαρίεν, ἄξιον σπουδῆς εἶναι τὸν εἰργασμένον.

139 (34 Lass.) Plutarchus, Cat. Min. 7 (762 e)

ὡς δ' οἱ φίλοι τοῦτ' ἐκώλυσαν, ὀργῇ καὶ νεότητι τρέψας ἑαυτὸν εἰς ἰάμβους, πολλὰ τὸν Σκιπίωνα καθύβρισε, τῷ πικρῷ προσχρησάμενος τοῦ Ἀρχιλόχου, τὸ ἀκόλαστον ἀφεὶς καὶ παιδαριῶδες.

140 Plutarchus, De curios. 10 (520 a-b)

φέρε γάρ, εἴ τις ἐπιὼν τὰ συγγράμματα τῶν παλαιῶν ἐκλαμβάνοι τὰ κάκιστα τῶν ἐν αὐτοῖς, καὶ βιβλίον ἔχοι συντεταγμένον οἷον Ὁμηρικῶν στίχων ἀκεφάλων καὶ τραγικῶν σολοικισμῶν καὶ τῶν ὑπ' Ἀρχιλόχου πρὸς τὰς γυναῖκας ἀπρεπῶς καὶ ἀκολάστως εἰρημένων, ἑαυτὸν παραδειγματίζοντος· ἆρ' οὐκ ἔστι τῆς τραγικῆς κατάρας ἄξιος· ὄλοιο θνητῶν ἐκλέγων τὰς συμφοράς;

141 Plutarchus, De sera num. vind. 17 (560 e)

ὁ γὰρ ἀποκτείνας ἐν τῇ μάχῃ τὸν Ἀρχίλοχον ἐκαλεῖτο Καλλώνδης, ὡς ἔοικεν, ἦν δ' αὐτῷ Κόραξ ἐπωνύμιον. Ἐκβληθεὶς δὲ τὸ πρῶτον ὑπὸ τῆς Πυθίας ὡς ἱερὸν ἄνδρα τῶν Μουσῶν ἀνῃρηκώς, εἶτα χρησάμενος λιταῖς τισι καὶ προστροπαῖς μετὰ δικαιολογίας ἐκελεύσθη πορευθεὶς ἐπὶ τὴν τοῦ Τέττιγος οἴκησιν ἱλάσασθαι τὴν τοῦ Ἀρχιλόχου ψυχήν. Τοῦτο δ' ἦν ὁ Ταίναρος· ἐκεῖ γάρ φασιν ἐλθόντα μετὰ στόλου Τέττιγα τὸν Κρῆτα πόλιν κτίσαι καὶ κατοικῆσαι παρὰ τὸ ψυχοπομπεῖον.

142 Plutarchus, De recta rat. aud. 13 (45 a-b)

μέμψαιτο δ' ἄν τις Ἀρχιλόχου μὲν τὴν ὑπόθεσιν, Παρμενίδου δὲ τὴν στιχοποιΐαν, Φωκυλίδου δὲ τὴν εὐτέλειαν.

143 Plutarchus, Instit. Lacon. 34 (239 b)

Ἀρχίλοχον τὸν ποιητὴν ἐν Λακεδαίμονι γενόμενον αὐτῆς ὥρας ἐδίωξαν, διότι ἐπέγνωσαν αὐτὸν πεποιηκότα ὡς κρεῖττόν ἐστιν ἀποβαλεῖν τὰ ὅπλα ἢ ἀποθανεῖν.

144 Plutarchus, De Herod. malign. 14 (857 f)

καίτοι τῶν παλαιῶν καὶ λογίων ἀνδρῶν οὐχ Ὅμηρος, οὐχ Ἡσίοδος, οὐκ Ἀρχίλοχος .... Αἰγυπτίου ἔσχον λόγον Ἡρακλέους, ἢ Φοίνικος ἀλλ' ἕνα τοῦτον ἴσασι πάντες Ἡρακλέα τὸν Βοιώτιον ὁμοῦ καὶ Ἀργεῖον.

145 Plutarchus, De musica 5 (1133 a)

μετὰ δὲ Τέρπανδρον καὶ Κλονᾶν Ἀρχίλοχος παραδίδοται γενέσθαι.

146 Plutarchus, De musica 28 (1140 f)

Ἀρχίλοχος τὴν τῶν τριμέτρων ῥυθμοποιΐαν προσεξεῦρε καὶ τὴν εἰς τοὺς οὐχ ὁμογενεῖς ῥυθμοὺς ἔντασιν, καὶ τὴν παρακαταλογὴν καὶ τὴν περὶ ταῦτα κροῦσιν. Πρώτῳ δ' αὐτῷ τά τ' ἐπῳδὰ καὶ τὰ τετράμετρα καὶ τὸ κρητικὸν καὶ τὸ προσοδιακὸν ἀποδέδοται, καὶ ἡ τοῦ ἡρῴου αὔξησις, ὑπ' ἐνίων δὲ καὶ τὸ ἐλεγεῖον· πρὸς δὲ τούτοις ἥ τε τοῦ ἰαμβείου πρὸς τὸν ἐπιβατὸν παίωνα ἔντασις καὶ ἡ τοῦ ηὐξημένου ἡρῴου εἴς τε τὸ προσοδιακὸν καὶ τὸ κρητικόν. Ἔτι δὲ τῶν ἰαμβείων τὸ τὰ μὲν λέγεσθαι παρὰ τὴν

κροῦσιν, τὰ δ' ᾄδεσθαι, Ἀρχίλοχόν φασι καταδεῖξαι, εἶθ' οὕτω χρήσασθαι τοὺς τραγικοὺς ποιητάς, Κρέξον δὲ λαβόντα εἰς διθυράμβων χρῆσιν ἀγαγεῖν. Οἴονται δὲ καὶ τὴν κροῦσιν τὴν ὑπὸ τὴν ᾠδὴν τοῦτον πρῶτον εὑρεῖν, τοὺς δ' ἀρχαίους πάντα πρόσχορδα κρούειν.

147 Plutarchus, Comment. in Hesiod. 19

τὸν μὲν γὰρ Ἀρχίλοχον καὶ τὸν Ἱππώνακτα βλασφημίας συγγράψαι κατὰ τῶν λυπησάντων.

148 Priscianus, Praeexercit. 1, 1 (III p. 430 Keil)

usi sunt tamen ea (scil. fabula) vetustissimi quoque auctores, ut Hesiodus, Archilochus, Horatius. Hesiodus quidem lusciniae, Archilochus autem vulpis, Horatius muris.

149 (1 c Lass.) Proclus, Chrestomath. ap. Phot. Bibl. 339 (319b 27 Bekker)

ἰάμβων δὲ ποιηταὶ Ἀρχίλοχός τε ὁ Πάριος ἄριστος καὶ Σιμωνίδης ὁ Ἀμόργιος .... καὶ Ἱππῶναξ Ἐφέσιος. Ὧν ὁ μὲν πρῶτος ἐπὶ Γύγου .... ἤκμαζεν.

150 Psellus, Epist. 8 (II, p. 9 Kurtz)

οὗτος μὲν γὰρ ἐπιγράμματα μὲν ποιεῖν οὐκ οἶδεν, οὔθ' οἷα τὰ Ἀρχιλόχεια οὔθ' οἷα τὰ Σιμωνίδεια.

151 (28 Lass.) Psellus, Vit. Nicetae framm. apud Lass. Archil. fragm. Test. 28

οὕτως αὐτῷ (scil. Νικήτῃ) Ἐπίχαρμοί τε καὶ Ἀρχίλοχοι, Νίκανδροί τε καὶ Πίνδαροι καὶ ἡ λοιπὴ ποίησις ἐγιγνώσκετο.

152 (38 Lass.) Quintilianus, Inst. or. 10, 1 (60)

summa in hoc (scil. Archilocho) vis elocutionis, cum validae tum breves vibrantesque sententiae, plurimum sanguinis atque nervorum, adeo ut videatur quibusdam, quod quoquam minor est, materiae esse non ingenii vitium.

153 Scholia Aphthon. 9 (II, p. 47 Walz)

πολλοὺς ὁρῶμεν πρὸς ἔπαινον δεξιούς, οὐ μὴν καὶ πρὸς ψόγον, ὡς Ὅμηρον, Πίνδαρον· ἑτέρους δὲ τοὐναντίον, ὡς τὸν Ἀρχίλοχον.

154 (18 Lass.) Scholia Hephaest., Schol. B 5, 12 π. ἰαμβ. 2 (p. 281 Consbr.)

ἐκλήθη δὲ ἴαμβος .... ἢ ἀπὸ Ἰάμβης οὕτω καλουμένης κόρης, ἥτις αἰσχρῶς ὑβρισθεῖσα ἀγκόνῃ κατέλυσε τὸν βίον, ὅπερ καὶ αἱ Λυκαμβίδες ἐπὶ τοῖς Ἀρχιλόχου <πεπόνθασι> ποιήμασι.

155 Scholia Horat. ad Epod. 6, 13 (I, p. 199 Holder)

Archilochum .... significat (scil. Horatius), qui Lycamben probrosis versibus usque eo insectatus est ut ille mortem sibi consc isceret. Hoc autem eo fecit, quod ille filiam suam in matrimonium promissam mox denegasset.

156 Scholia Horat. ad Epod. 6, 13-14 (Schol. λφψ, I, pp. 229-230 Botschuyver)

Archilochus gener Lycambae eousque eundem ipsum suum socerum persecutus est pro filia sibi negata, quam ei

promiserat, ut se ipsum ipse Lycambas interficeret ; unde comparat se Horatius Archilocho dicens se instar illius persequi inimicos.

Hipponactem significat poetam qui Bupalum generum suum iambis persecutus est aeque ut Archilochus, cui et comparat se.

157 (18 Lass.) Scholia Horat. ad Epod. 6, 13 (IV, 1, p. 169 Botschuyver)

Archilochus gener Lycambae fuit, quem dare filiam promissam denegantem eousque prosecutus est iambis ut se ipsum Lycambes interficeret.

158 Scholia Lucian. ad Bis accusat. (p. 146 Rabe)

τῷ τε γὰρ ἰάμβῳ Ἀρχίλοχος, ὃν καὶ πρῶτόν φασι τῷ μέτρῳ χρήσασθαι, πρὸς ὕβριν τῶν Λυκαμβίδων διεγχειρίσατο.

159 Scholia Ovid. ad Ibin 54 (p. 10 La Penna)

Lycambes Neobulem, filiam suam, Archilocho desponsavit et dotem promisit ; quam quia postea negavit, Archilochus in iambico metro invectivam in ipsum fecit et tam turpia de eo dixit quod ipsum et uxorem et filiam ad laqueos coëgit : maluerunt enim mori quam sub turpibus obprobriis vivere.

160 Scholia Ovid. ad Ibin 521 (pp. 156-157 La Penna)

a) Archilochus propter filiam Hipponactis Lycambi datam, quam antea desponsaverat ipsi Archilocho commo-

tus ad iram composuit in eum, scilicet Lycamben, invectiones iambico metro scriptas, quibus eum coëgit ad mortem. Unde Horatius « Archilochum proprio rabies armavit iambo ». Postea autem lingua sua fuit sibi in exitium.

b) Archilochus, iambici carminis inventor, cui maledicentia exitio fuit.

c) Archilochus, iamborum inventor, postquam Lycamben coegërat ad suspendium, ab amicis eius persecutus, se ipsum interfecit.

d) Archilochus, inventor iambi, propter linguae suae pravitatem, missus est in exilium.

e) Archilochus ab inimicis suis interfectus fuit, quia fecit contra eos invectiones iambico metro.

161 Scholia Pind. ad Pyth. 2, 99-101 (II, p. 48 Drachmann)

99 ἐν ἀπορίᾳ βίου διὰ τὴν λοιδορίαν, φησί [scil. Πίνδαρος, Ἀρχίλοχον] καθεστῶτα, πάντων αὐτὸν ἀποστρεφομένων.

101 b) δύναται .... διαιρεῖσθαι, διὰ μὲν τοῦ πόλλ' ἐν ἀμηχανίᾳ ψογερὸν Ἀρχίλοχον νοουμένου παρὰ τοῖς ἀνθρώποις ψεγόμενον τὸν Ἀρχίλοχον καὶ πόλλ' ἐν ἀμηχανίᾳ ψεγόμενον, ἐπεὶ βαρυλόγοις ἔχθεσιν ἐπιαίνετο καὶ ἔχαιρεν, εἰς λοιδορίαν ἀνθρώπων καὶ εἰς κακομηχανίαν χρώμενος τῇ ποιήσει.

c) εἶδον γάρ, φησί (scil. Πίνδαρος), τὸν Ἀρχίλοχον πιαινόμενον λόγοις ψογεροῖς ἐν ἀπορίᾳ.

d) τὸν Ἀρχίλοχον ἐν ἀπορίᾳ εἶδον, ἐπεὶ ψογερὸς ἦν.

162 Scholia Pind. ad Pyth. 2, 101 (I, p. 469 Abel)

τοῦτο δὲ λέγει (scil. Πίνδαρος) διὰ τὸν Ἀρχίλοχον σοφὸν ὄντα καὶ πενίᾳ κατεχόμενον.

163 Sextus Emp., Contra Mathem. 1, 298 (III, p. 76 Mau)

καθόλου τε, ὅσον ἐπὶ τοῖς ποιηταῖς, οὐχ οἷον ἀνωφελὴς τῷ βίῳ ἀλλὰ καὶ βλαβερωτάτη. Ἐπιτείχισμα γὰρ ἀνθρωπίνων παθῶν ἡ ποιητικὴ καθέστηκεν καὶ ὡς « γέρων γέροντι γλῶσσαν ἡδίστην ἔχει », οὕτως οἱ μὲν ἐρωτομανεῖς καὶ μέθυσοι τὰς Ἀλκαίου καὶ Ἀνακρέοντος ποιήσεις ἀναγνόντες προσεκκαίονται, οἱ δὲ ὀργίλοι Ἱππώνακτα καὶ Ἀρχίλοχον ἀλείπτας ἔχουσι τῆς περὶ αὐτοὺς κακίας.

164 Sextus Emp., Contra Mathem. 9, 110 (II, p. 239 Mutschmann)

ἰδοὺ γάρ, Ἀρχίλοχος ποιητικὸς ὢν οὐκ ἔστι Σωκράτους τοῦ μὴ ποιητικοῦ κρείττων.

165 Sidonius Apollinaris, Carm. 9, 214

non laesi Archilochi feros iambos.

166 Solinus 1, 117 (p. 29 Mommsen)

percussores Archilochi poetae Apollo prodidit, et latronum facinus deo arguente detectum.

167 Stephanus Byz. s. v. Θάσος p. 303 Meineke

ὅτι δὲ καὶ Ἀερία ἡ Θάσος, δῆλον ἐκ τοῦ χρησμοῦ τοῦ δοθέντος πατρὶ τοῦ Ἀρχιλόχου·

ἄγγειλον Παρίοις, Τελεσίκλεε<ς>, ὥς σε κελεύω
νήσῳ ἐν Ἠερίῃ κτίζειν εὐδείελον ἄστυ.

168 Strabo 10, 7 (487)

μετὰ δὲ ταύτην Νάξος καὶ Ἄνδρος ἀξιόλογοι καὶ Πάρος· ἐντεῦθεν ἦν Ἀρχίλοχος ὁ ποιητής.

169 Strabo 14, 40 (647-648)

καὶ τὸ παλαιὸν δὲ συνέβη τοῖς Μάγνησιν ὑπὸ Τρηρῶν ἄρδην ἀναιρεθῆναι, Κιμμερικοῦ ἔθνους, εὐτυχήσαντας πολὺν χρόνον, τὸ δ' ἑξῆς τοὺς Ἐφεσίους κατασχεῖν τὸν τόπον. Καλλῖνος μὲν οὖν ὡς εὐτυχούντων ἔτι τῶν Μαγνήτων μέμνηται καὶ κατορθούντων ἐν τῷ πρὸς τοὺς Ἐφεσίους πολέμῳ, Ἀρχίλοχος δὲ ἤδη φαίνεται γνωρίζων τὴν γενομένην αὐτοῖς συμφοράν [fr. 19]. Ἐξ οὗ καὶ [αὐ]τὸν νεώτερον εἶναι τοῦ Καλλίνου τεκμαίρεσθαι πάρεστιν.

170 (14 b Lass.) Suda s. v. Ἀρχίλοχος I, p. 376 Adler

ὅτι τῶν σπουδαίων οὐδὲ θανόντων οἱ θεοὶ λήθην τίθενται. Ἀρχίλοχον γοῦν ποιητὴν γενναῖον τἄλλα, εἴ τις αὐτοῦ τὸ αἰσχροεπὲς καὶ τὸ κακορρῆμον ἀφέλοι, καὶ οἱονεὶ κηλῖδα ἀπορρύψαι, ὁ Πύθιος ἠλέει τεθνεῶτα καὶ ταῦτα ἐν τῷ πολέμῳ, ἔνθα δήπου ξυνὸς Ἐνυάλιος. Καὶ ὅτε ἧκεν ὁ ἀποκτείνας αὐτόν, Καλώνδας μὲν ὄνομα, Κόραξ δὲ ἐπώνυμον, τοῦ θεοῦ δεόμενος ὑπὲρ ὧν ἐδεῖτο, οὐ προσήκατο αὐτὸν ἡ Πυθία ὡς ἐναγῆ, ἀλλὰ ταῦτα δήπου τὰ θρυλούμενα ἀνεῖπεν. Ὁ δὲ ἄρα προεβάλλετο τὰς τοῦ πολέμου τύχας καὶ ἔλεγεν, ὡς ἧκεν ἐς ἀμφίβολον ἢ δρᾶσαι ἢ παθεῖν ὅσα ἔπραξε, καὶ ἠξίου μὴ ἀπεχθάνεσθαι τῷ θεῷ, εἰ τῷ ἑαυτοῦ δαίμονι ζῇ, καὶ ἐπηρᾶτο, ὅτι μὴ τέθνηκε μᾶλλον ἢ ἀπέκτεινε. Καὶ ταῦτα ὁ θεὸς οἰκτείρει καὶ αὐτὸν κελεύει ἐλθεῖν εἰς Ταίναρον, ἔνθα Τέττιξ τέθαπται, καὶ μειλίξασθαι τὴν τοῦ Τελεσικλείου παιδὸς ψυχήν, καὶ πραῦναι χοαῖς. Οἷς ἐπείσθη, καὶ τῆς μήνιδος τῆς ἐκ τοῦ θεοῦ ἐξάντης ἐγένετο. Καὶ παροιμία· Ἀρχίλοχον πατεῖς, ἐπὶ τῶν κακηγόρων καὶ λοιδόρων.

171 Syncellus, Chronogr. 181 (I, p. 340 Dindorf)

καὶ ἕτεροι (scil. φασὶ γεγονέναι Ὅμηρον) κατὰ Ἀρχίλοχον περὶ τὴν κγʹ Ὀλυμπιάδα μετὰ ἔτη φʹ που τῆς ἁλώσεως Τροίας.

172 (3 Lass.) Syncellus, Chronogr. 213 (I, p. 401 Dindorf)

Ἀρχίλοχος καὶ Σιμωνίδης καὶ Ἀριστόξενος οἱ μουσικοὶ ἐγνωρίζοντο.

173 (51 Lass.) Synesius, π. ἐνυπνίων 20, 156 a-b (II, 1, p. 188 Terzaghi)

δέον ἀπολαύειν ἑαυτῶν, ὥσπερ Ἀλκαῖός τε καὶ Ἀρχίλοχος, οἳ δεδαπανήκασι τὴν εὐστομίαν εἰς τὸν οἰκεῖον βίον ἑκάτερος. Καὶ τοίνυν ἡ διαδοχὴ τοῦ χρόνου τηρεῖ τὴν μνήμην ὧν τε ἤλγησαν, ὧν τε ἥσθησαν. Οὔτε γὰρ κενεμβατοῦντας τοὺς λόγους ἐξήσεγκαν, ὥσπερ τὸ νέον τοῦτο τὸ σοφὸν γένος ἐπὶ συμπεπλασμέναις ταῖς ὑποθέσεσιν, οὔτε ἑτέροις κατεχαρίσαντο τὸ σφέτερον ἀγαθόν, ὥσπερ Ὅμηρος καὶ Στησίχορος, τὸ μὲν ἡρωικὸν φῦλον διὰ τὰς ποιήσεις αὐτῶν ἐπικυδέστερον ἔθεσαν. Καὶ ἡμεῖς ὠνάμεθα τοῦ ζήλου τῆς ἀρετῆς· αὐτοὶ δὲ τό γε ἐφ' ἑαυτοῖς ἠμελήθησαν, περὶ ὧν οὐδὲν ἔχομεν εἰπεῖν ἢ ὅτι ποιηταὶ δεξιοί.

174 Synesius, φαλάκρας ἐγκώμιον 75 b (II, 1, p. 211 Terzaghi)

ὁ κάλλιστος ποιητῶν Ἀρχίλοχος.

175 (2 c Lass.) Tatianus, Adv. Graecos 49 d (p. 124 Otto)

ὁ δὲ Ἀρχίλοχος ἤκμασε περὶ Ὀλυμπιάδα τρίτην καὶ εἰκοστήν, κατὰ Γύγην τὸν Λυδόν, τῶν Ἰλιακῶν ὕστερον ἔτεσι πεντακοσίοις.

176 Terentianus Maurus, De metris 2243 (VI, p. 392 Keil)

Aristophanis ingens micat sollertia,
qui saepe metris multiformibus novis
Archilochon arte est aemulatus musica.

177 (18 Lass.) Terentianus Maurus, De metris 2456 (VI, p. 398 Keil)

Archilochus isto saevit iratus metro
contra Lycambam et filias.

scil. dimetrum subdidit trimetro

178 (32 Lass.) Theocritus, Epigramm. 21

Ἀρχίλοχον καὶ στᾶθι καὶ εἴσιδε τὸν πάλαι ποιητάν
τὸν τῶν ἰάμβων, οὗ τὸ μυρίον κλέος
διῆλθε κἠπὶ νύκτα καὶ ποτ' ἀῶ.
ἦ ῥά νιν αἱ Μοῖσαι καὶ ὁ Δάλιος ἠγάπευν Ἀπόλλων,
ὡς ἐμμελής τ' ἐγένετο κἠπιδέξιος
ἔπεά τε ποιεῖν πρὸς λύραν τ' ἀείδειν.

179 Theodoretus, Graec. affect. curatio 10, 36 (141)

οὗτος (scil. ὁ Πύθιος) καὶ τὸν Ἀρχίλοχον, αἴσχρότατον γενόμενον ποιητήν, ἀοίδιμον προσηγόρευσε καὶ ἀθάνατον· καὶ πρὸς τὸν τοῦδε ἔφη πατέρα· « ἀθάνατός σοι παῖς καὶ ἀοίδιμος, ὦ Τελεσίκλεις, ἔσσεται ἐν ἀνθρώποις ».

180 Theon, Progymn. 3, 4 (p. 32 Finckh)

Αἰσώπειοι (scil. οἱ μῦθοι) δὲ ὀνομάζονται ὡς ἐπίπαν, οὐχ ὅτι Αἴσωπος πρῶτος εὑρετὴς τῶν μύθων ἐγένετο (Ὅμηρος γὰρ καὶ Ἡσίοδος καὶ Ἀρχίλοχος καὶ ἄλλοι τινὲς πρεσβύτεροι γεγονότες αὐτοῦ φαίνονται ἐπιστάμενοι ....), ἀλλ' ὅτι Αἴσωπος αὐτοῖς μᾶλλον κατακόρως καὶ δεξιῶς ἐχρήσατο.

181 Tzetza, Prolegom. in poetas, ap. Schol. Lycophr. (II, p. 2 Scheer)

ἀριπρεπεῖς δὲ ἰαμβογράφοι τρεῖς· Ἀνανίας, Ἀρχίλοχος, Ἱππῶναξ.

182 (20 Lass.) Valerius Max. 6, 3 ext. 1 (p. 291 Kempf).

Lacedaemonii libros Archilochi e civitate sua exportari iusserunt, quod eorum parum verecundam ac pudicam lectionem arbitrabantur : noluerunt enim ea liberorum suorum animos imbui, ne plus moribus noceret quam ingeniis prodesset. Itaque maximum poetam, aut certe summo proximum, quia domum sibi invisam obscenis maledictis laceraverat, carminum exilio multarunt.

183 (41 Lass.) Velleius Paterculus 1, 5

neque quemquam alium, cuius operis primus auctor fuerit, in eo perfectissimum praeter Homerum et Archilochum reperiemus.

184 (2 a Lass.) Xanthus Lyd., ap. Clem. Alex., Strom. 1, 21, 131 (II, p. 81, Stählin[3])

Ξάνθος δὲ ὁ Λυδός (scil. *φησί*) περὶ τὴν ὀκτωκαιδεκάτην Ὀλυμπιάδα .... Θάσον ἐκτίσθαι, ὡς εἶναι συμφανὲς τὸν Ἀρχίλοχον μετὰ τὴν εἰκοστὴν ἤδη γνωρίζεσθαι Ὀλυμπιάδα.

SIGLORUM CONSPECTUS

α̣ : littera incerta

. . . : litterae evanidae quae legi nequeunt

[α] : littera in textu deperdita

⌊α⌋ : littera deperdita sed alio fonte tradita

[. . .] : numerus litterarum quae perierunt

<α> : littera a viris doctis addita

⟦α⟧ : littera in papyro deleta

⸎ : finis carminis

* : lacuna in textu

† : textus corrupte traditus

° : fragmentum dubium

°° : fragmentum spurium

ARCHILOCHUS

ΑΡΧΙΛΟΧΟΥ

ΕΛΕΓΕΙΑ

1 (1 D., 8 L. B.)

εἰμὶ δ' ἐγὼ θεράπων μὲν Ἐνυαλίοιο ἄνακτος
καὶ Μουσέων ἐρατὸν δῶρον ἐπιστάμενος

(ι) Athen. 14, 23 (627c) Ἀρχίλοχος .... πρῶτον ἐκαυχήσατο τῷ δύνασθαι μετέχειν τῶν πολιτικῶν ἀγώνων, δεύτερον δὲ ἐμνήσθη τῶν περὶ τὴν ποιητικὴν ὑπαρχόντων αὐτῷ λέγων · [1-2], unde Eustath., in Il. 23, 619 (1320, 2) : [1-2]. (ιι) Plut., Phoc. 7 (745) καὶ γὰρ τῶν ἀνδρῶν ἐκείνων ἕκαστος ἐφαίνετο, κατὰ τὸν Ἀρχίλοχον, ἀμφότερον · [1-2], unde Themist., Orat. 15 (185 b) : [1-2].

Hom., Od. 6, 196 εἰμὶ δ' ἐγὼ θυγάτηρ μεγαλήτορος Ἀλκινόοιο. Hes., Scut. 371 παῖς τε Διὸς μεγάλου καὶ Ἐνυαλίοιο ἄνακτος. Hes., Theog. 103 ταχέως δὲ παρέτραπε δῶρα θεάων (scil. Μουσάων). Alcm. 59 b P.M.G. τοῦτο Ϝαδειᾶν ἔδειξε Μωσᾶν | δῶρον. Sol. 1, 51 Ὀλυμπιάδων Μουσέων πάρα δῶρα διδαχθείς. Theogn. 250 Young ἀγλαὰ Μουσάων δῶρα. Anacr. 56, 3 Gentili Μουσέων τε καὶ ἀγλαὰ δῶρ' Ἀφροδίτης. Anacr. 62, 7-9 Gentili ἐρόεντα .... δῶρα .... Πιερίδων. Anonym., Anth. Pal. 9, 389 εἰμὶ μὲν εὐθώρηκος Ἐνυαλίου πολεμιστής | εἰμὶ δὲ καὶ θεράπων Ἑλικωνίου Ἀπόλλωνος. Ammon., Anth. Pal. 9, 827 εἰμὶ μὲν εὐκεράοιο φίλος θεράπων Διονύσου. Theod. Prodr., ep. 2, (1246 Migne) ἀμφότερον, θεράπων μὲν πραγματικοῖο θεοῖο | καὶ Μουσάων ἐρατὸν δῶρον ἐπιστάμενος.

1 εἰμὶ δ' ἐγὼ Athen., Eustath., omm. Plut., Themist., qui autem Themistius Plutarchi ἀμφότερον Archilocho tribuit. Themistio confisi εἰμὶ δ' ἐγὼ | ἀμφότερον restitt. Friedl., Lass., at cum ἀμφότερος adhibetur numquam μέν .... καί inter se respondere

docet Monaco, ἀμφότερον | εἰμί τ' ἐγὼ Gigante   μὲν om. Themist. ἄνακτος Athen., Eustath., θεοῖο Plut., Themist., probv. Fick   2 Μουσέων Athen. cod. A, Plut., Μουσάων Athen. cod. E, cett.   ἐρατὸν plerique, ἐρατᾶν (ἐρατῶν codd. Z) Plut.

2 (2 D., 7 L. B.)

ἐν δορὶ μέν μοι μᾶζα μεμαγμένη, ἐν δορὶ δ' οἶνος
Ἰσμαρικός, πίνω δ' ἐν δορὶ κεκλιμένος

(I) Athen. 1, 56 (30 f) Ἀρχίλοχος .... πού φησιν· [1-2]   (II) Synes., ep. 130 (p. 717 Hercher) τὴν χώραν ἔχουσιν οἱ πολέμιοι, ἐγὼ δὲ ὑπὸ μεσοπυργίῳ τεταγμένος ὑπνομαχῶ· [1-2]. οὐκ οἶδ' εἰ μᾶλλον Ἀρχιλόχῳ προσήκοντα ἦν ταῦτα εἰπεῖν, unde Suda [1] s.v. ὑπνομαχῶ, Suda [2] s.v. Ἰσμαρικὸς οἶνος.

Hybrias apud Athen. 15, 50 (695 f-696 a) ἔστι μοι πλοῦτος μέγας δόρυ καὶ ξίφος | καὶ τὸ καλὸν λαισήιον, πρόβλημα χρωτός. | Τούτῳ γὰρ ἀρῶ, τούτῳ θερίζω, | τούτῳ πατέω τὸν ἁδὺν οἶνον ἀπ' ἀμπέλω ....

magna vi poeta praedicat sibi in hasta, quam ne bibens quidem relinquit, esse unde vivat cum bellando sibi comparet quae suppeditant ad victum. Parum credibile, quod coniecit Davison ἐν δορί posse significare aliquid quasi " on active service ", vel, fortasse, collato Aeschylo Pers. 411, in navi; nihil enim attineret ad hanc interpretationem Hybriae imitatio certissima in scolio, neque intellegeremus cur poeta anaphora usus esset. ἐν δορὶ Gentili intellexit " sul legno " scil. navis, atque hoc fr. cum fr. 7 coniunxit; Bowra interpretatus est ἐν δορὶ κεκλιμένος " at my post ", at scil., ut vidit Perrotta, δορὶ ἐγκεκλιμένος interpretandum est : in hastam reclinatus.

1 μοι Synes., om. Athen., τοι Suda[1]   δ' om. Synes.

3 (3 D., 9 L. B.)

οὔ τοι πόλλ' ἔτι τόξα τανύσσεται οὐδὲ θαμειαί
σφενδόναι, εὖτ' ἂν δὴ μῶλον Ἄρης συνάγηι
ἐν πεδίωι· ξιφέων δὲ πολύστονον ἔσσεται ἔργον·
ταύτης γὰρ κεῖνοι δαήμονές εἰσι μάχης
5 δεσπόται Εὐβοίης δουρικλυτοί

Plut., Thes. 5 (2 f - 3 a) οἱ δ' Ἄβαντες .... ὄντες πολεμικοὶ καὶ ἀγχέμαχοι καὶ μάλιστα δὴ πάντων εἰς χεῖρας ὠθεῖσθαι τοῖς ἐναντίοις μεμαθηκότες, ὡς μαρτυρεῖ καὶ Ἀρχίλοχος ἐν τούτοις· [1-5]· ὅπως οὖν μὴ παρέχοιεν ἐκ τῶν τριχῶν ἀντίληψιν τοῖς πολεμίοις, ἀπεκείραντο.

Hom., Il. 4, 112 (τόξον) τανυσσάμενος. Hom., Od. 21, 254-5 τανύσσαι | τόξον. Hom., Il. 2, 381 (19, 275) ἵνα ξυνάγωμεν Ἄρηα. Hom., Il. 2, 401 (7, 147 ; 16, 245 ; 18, 134) μῶλον Ἄρηος. Hom., Il. 13, 811 οὔ τοί τι μάχης ἀδαήμονές εἰμεν.

1 ἔτι Schneidw., ἐπὶ Plut. 4 δαήμονες Plut., probv. Adrados, δᾱμονες Fick, δαίμονες Plut. codd. Barocc. 200 et 216 probvv. plerique edd. e Platonis Cratyl. 398 b ὅτι φρόνιμοι καὶ δαήμονες ἦσαν, δαίμονας αὐτοὺς ὠνόμασεν [cf. Hesych. δαίμων· δαήμων]· καὶ ἔν γε τῆι ἀρχαίαι τῆι ἡμετέραι φωνῆι αὐτὸ συμβαίνει τὸ ὄνομα (scil. δαήμων) ; at nullo modo quam affert Plato etymologia probari potest, cf. Schwyzer, Ph. W. 42 (1922) p. 960, αἵμονες Schwyzer 5 Εὐβοίης Schneidw., Εὐβοίας Plut.

04

. . .

]ṿọς[
].οσα τε[
].η πολυω[νυμ
]μιν πῆμ' ἐφυτ̣[ευ
5].κ ἄν ἐγὼ γεμ[
].ων φάσγανον[
].ν μοι κεχαρισμ̣[έν
]νεην θεσσαλ[
]στοσ' Ἀθηναίη.[
10]ν δῶρον ἐπιστ̣[αμεν
ἀ]λκὴν ἐρρύσατο.[
]δακρυόεντα β[έλεα
].π̣υ̣ρι μὲν πολυ[
].ος λάμπετο και[

P. Oxy. 30 (1964) n. 2507, saec. p. Chr. II.

Hom., Od. 4, 668 πρὶν ἡμῖν πῆμα φυτεῦσαι (alt. lect.). Archil. 1, 2 Μουσέων ἐρατὸν δῶρον ἐπιστάμενος.

3 πολυω[νυμ Lobel 4 ἐφυτ[ευ Lobel 7 κεχαρισμ̣[έν Lobel 8 θεσσαλ[λ, ut videtur, in papyro, at nescio quid Thessalis cum Pariis fuerit. Nonne θεσσαμ[εν, collato fr. 11, 2 ? 11 ἀ]λκὴν Lobel 12 β[έλεα Tarditi 14 και[ομεν Lobel

105

]ην τετράφαλον [
]τοῖσιν ἔβη ταχύ[ς
].ν γὰρ τοῦτ' ἔπος α[
]ισιν ἕνα πρόμον [
5].ας ἀσπίδας ἀντ[ι
].τείνηισι Καρύσ[τι
]ον χῶρον 'Ερετρι[έων
]ν ἔργον ἐμήσατ[ο
]πάλων βουσὶν ἐ.[
10]ης ἐς ἀνάκτορ[ον
]δυσμενέων ε[
].υσαμεν ειδ[
]ωνδ' εἶπε τάδ[ε
ἐ]νοπὴν θωρη[κ
15]ν ἄνδρα διίξ.[
]ς ἐχέτω δόμο[
]ανερα· τὼς φ.[
]λος ἔβη [
].ώς ἐφε[
20]αδων.[
]ησαν.[
]ἐμοῦ τ[
]αληι σὺν [
]ἔπαυσε [
25].ησαιτ[

P. Oxy. 30 (1964) n. 2508, saec. p. Chr. I.

3]ἐν Lobel, qui ἕν suspicatur 4 ἑνα pap. 5 ἀμφ pap., ντ s. μφ 6 Καρύσ[τι Lobel 7 'Ερετρι[έων Lobel 9 ἀντι]πάλων βουσὶν ἔπ[ι dub. Lobel 10 επ pap., ς s. π ἀνάκτορ[ον Lobel 14 ἐ]νοπήν Lobel 15 διίξο[μαι vel διίξε[ται Tarditi 21]ησαντ[Lobel 25]λησαίτ[Lobel

6 (4 D., 14 L. B.)

ξείνια δυσμενέεσσι
λυγρὰ χαριζόμενοι

Schol. Soph., El. 95 (p. 106 Papageorgius) ξένια γὰρ Ἄρεως τραύματα < καὶ > φόνοι· καὶ Ἀρχίλοχος· [1-2], unde Suda[1] s.v. ἐξένισεν, Suda[2] s.v. ξένια.

Mnasalc., Anth. Pal. 6, 9, 4 ὀλοὰ ξείνια δυσμενέων.

1 ξείνια Suda[1], ξένια Schol. Soph., Suda[2] δυσμενέεσσι Schol. Soph. cod. L, Suda cod. V, δυσμενέεσι Suda, δυσμενέσιν cett., unde Archilochi edd. pentametrum postulant ξείνια δυσμενέσιν λυγρὰ χαριζόμενοι, at cf. Bergk 2 χαριζόμενοι Schol. Soph., χαριζόμενος Suda, probv. Liebel

7 (5 A D., 12 L. B.)

.] φ.[
φρα[
ξείνοι̣ [
δεῖπνον δ' ο̣ὐ̣[
5 — οὔτ' ἐμοὶ ὡς αι̣[
ἀλλ' ἄγε σὺν κώ⌊θωνι θοῆς διὰ σέλματα νηός
φοίτα καὶ κοίλω⌊ν πώματ' ἄφελκε κάδων
ἄγρει δ' οἶνον ⌊ἐρυθρὸν ἀπὸ τρυγός· οὐδὲ γὰρ ἡμεῖς
νήφε⌊ι⌋ν ἐν ⌊φυλακῆι τῆιδε δυνησόμεθα

(I) P. Oxy. 6 (1908) n. 854, saec. p. Chr. II ex.: [1-9]. (II) Athen. 11, 66 (483 b-d) κώθων· Λακωνικὸν ποτήριον.... Μνημονεύει αὐτοῦ καὶ Ἀρχίλοχος ἐν ἐλεγείοις ὡς ποτηρίου οὕτως· [6-9]. ὡς τῆς κύλικος λεγομένης κώθωνος.

2 in margine coronis, ut videtur φρά[ζε vel φρά[ζεο Lass. 4 δ' ου Lass., δου[Diehl, δού[λιον dub. Garzya 6 ἀλλ' ἄγε Musurus, ἀλλά τε Athen. 7 κοῖλων pap., κοίλων Athen. 9 νηφέ[.]ν ἐ. pap., νήφειν ἐν Musurus, νήφειν μὲν Athen.

8 (6 D., 13 L. B.)

ἀσπίδα μὲν Σαΐων τις ἀνείλετο, τὴν παρὰ θάμνωι
ἔντος ἀμώμητον κάλλιπον οὐκ ἐθέλων,
αὐτὸς δ' ἐξέφυγον θανάτου τέλος. Ἀσπὶς ἐκείνη
ἐρρέτω, ἐξαῦτις κτήσομαι οὐ κακίω

(I) Strab.[1] 10, 2, 17 (457) μέμνηται δὲ τῶν Σαΐων Ἀρχίλοχος· [1-2], et Strab.[2] 12, 3, 20 (549) Σίντιες γὰρ ἐκαλοῦντό τινες τῶν Θρᾳκῶν, εἶτα Σίντιοι, εἶτα Σάϊοι, παρ' οἷς φησιν Ἀρχίλοχος τὴν ἀσπίδα ῥῖψαι· [1-2]. (II) Vita Arati pp. 76-77 Maass καὶ γὰρ Σάϊς πόλις ἐστὶν ἐν Θρᾴκῃ .... οἱ δὲ τῆς Θρᾴκης Σάϊοι (scil. καλοῦνται), ὡς καὶ Ἀρχίλοχός φησιν· [1-2]. (III) Aristoph., Pax 1296 ΤΡΥΓ.· ᾆσον πρὶν εἰσιέναι τι .... 1298 ΠΑΙΣ ΚΛ.· [1-2].... 1301 ψυχὴν δ' ἐξεσάωσα, unde Schol. ad l. (p. 208 Dübner) 1298 Ἀρχιλόχου ἐστὶ τὸ δίστιχον. Οὕτως δὲ ἐγράφη ἐπὶ τῇ ἀπορρίψει τῆς ἀσπίδος .... οὗτος ὁ Ἀρχίλοχος ἐξῆλθεν εἰς πόλεμον ἐν τῇ πρὸς Σαΐους μάχῃ .... καὶ φοβηθεὶς ἔφυγε ῥίψας ἑαυτοῦ τὰ ὅπλα, Schol. 1301 καὶ τοῦτο Ἀρχίλοχος. (IV) Plut., Instit. Lacon. 34 (239 b) Ἀρχίλοχον τὸν ποιητὴν ἐν Λακεδαίμονι γενόμενον αὐτῆς ὥρας ἐδίωξαν, διότι ἐπέγνωσαν αὐτὸν πεποιηκότα ὡς κρεῖττόν ἐστιν ἀποβαλεῖν τὰ ὅπλα ἢ ἀποθανεῖν· [1-4]. (V) Sext. Emp. Pyrrh. hyp. 3, 216 (I, p. 191 Mutschmann) ἀλλὰ καὶ ὁ δειλὸς καὶ ῥίψασπις ἀνὴρ κολάζεται παρὰ πολλοῖς νόμῳ .... Ἀρχίλοχος δέ, ὥσπερ σεμνυνόμενος ἡμῖν ἐπὶ τῷ τὴν ἀσπίδα ῥίψας φυγεῖν, ἐν τοῖς ποιήμασιν περὶ ἑαυτοῦ φησίν [1-3 ~ τέλος]. (VI) Olympiod., in Plat. Gorg. 483 a (p. 128 Norv.) φροντίσωμεν οὖν τοῦ σωθῆναι τὴν ψυχήν, ... ποιήσωμεν οὖν ὃ εἶπεν ἐκεῖνος· [3-4 ~ ἐρρέτω]. (VII) Elias, Prolegom. phil. 8, 412 (p. 22 Busse) οὕτω τρωθείς τις ἐν πολέμῳ ὑπὲρ φίλου ἔφη· [3-4 ~ ἐρρέτω], αὐτὸν μὲν τὴν ἰδίαν ψυχὴν εἰπών, ἀσπίδα δὲ τὸ ἴδιον σῶμα καλέσας. (VIII) Cf. Hesych. s. vv. Σάϊοι, ἀγάλλεται, ἔντος, ἐρρέτω.

Hom., Il. 13, 296 καρπαλίμως κλισίηθεν ἀνείλετο χάλκεον ἔγχος. Hom., Il. 23, 823 ἀέθλια .... ἀνελέσθαι. Hom., Il. 4, 300 (23, 88) οὐκ ἐθέλων. Hom., Il. 3, 309 θανάτοιο τέλος. Hom., Od. 5, 326 τέλος θανάτου.

Cf. . Critias (88 B 44 Diels) apud Aelian., Var. hist. 10, 13 (II, p. 110 Hercher) οὔτε ὅτι μοιχὸς ἦν ᾔδειμεν ἂν εἰ μὴ παρ' αὐτοῦ μαθόντες, οὔτε ὅτι λάγνος καὶ ὑβριστής, καὶ τὸ ἔτι τούτων αἴσχιον, ὅτι τὴν ἀσπίδα ἀπέβαλεν. Philostr., Vita Apoll. 2, 7, 25 (I, p. 48 Kayser) καίτοι ἀσπίδος μὲν ἀποβληθείσης ἑτέρα γένοιτ' ἂν τῷ ἀποβαλόντι κακίων οὐδὲν τῆς προτέρας, ὡς 'Αρχιλόχῳ δοκεῖ. Eustath., in Dionys. perieg. 533 (Geographi Gr. Min. p. 209 Bernhardy) οἱ δέ φασιν ὅτι Σάμος λέγεται ἡ Θρακία, οἱονεὶ Σάος τις, καὶ κατὰ πλεονασμὸν τοῦ μ Σάμος, ἀπὸ Σαΐων, ἔθνους παλαιοῦ οἰκήσαντος αὐτήν, οὗ μέμνηται καὶ 'Αρχίλοχος, ὁμολογῶν ἄκραντον τὴν αὐτοῦ ἀσπίδα ἐν φυγῇ πολέμου ῥῖψαι παρ' αὐτοῖς. Eustath., id. 767 (p. 245 Bernhardy) οἷον οἱ παρ' Ὁμήρῳ φασὶ Σίντιες Θρᾷκες Σίντοι ἐκλήθησαν ὕστερον· εἶτα παρὰ 'Αρχιλόχῳ Σάϊοι, καὶ πάλιν Σάπαι.

idem atque Archilocho narrant et Alcaeo accidisse Herodt. 5, 95, Strab. 13, 38 (600). Cf. etiam Anacr. 85 Gentili ἀσπίδα ῥῖψ' ἐς ποταμοῦ καλλιρόου προχοάς. Hor., Carm. 2, 7, 9-10 celerem fugam | sensi relicta non bene parmula.

1 ἀσπίδα Strab.², Plut. codd. Σg. ἀσπίδι cett. ἀνείλετο Strab.¹ corr. cod. B, om. Strab.², recepit epitomat., ἀνείλατο Strab.¹ codd. Bgy, ἀγάλλεται cett. τὴν Strab.¹, ἣν cett. παρὰ θάμνωι Aristoph., Strab.¹, Sext. Emp., Vita Arati, περὶ θάμνωι Plut., περὶ θάμνον Strab.² 3-4 αὐτὸς δ' ἐξέφυγον θανάτου τέλος Sext. Emp., probv. Bergk, om. Plut., ψυχὴν δ' ἐξεσάωσα Aristoph., αὐτὸν μέν μ' ἐσάωσα Olympiod., αὐτόν μ' ἐξεσάωσα Elias, αὐτὸν δ' ἐξεσάωσα Diehl, αὐτός μ' ἐξεσάωσα Gigante coll. Eurip., Bacch. 614 ἀσπὶς ἐκείνη | ἐρρέτω Plut., Sext. Emp., τί μοι μέλει ἀσπὶς ἐκείνη; Olympiod., Elias, probv. Diehl, aliter interpungendo τί μοι μέλει; ἀσπὶς ἐκείνη | ἐρρέτω V. der Muehll ἐξαῦτις Gaisford, ἐξαῦθις Plut., ἧς αὖθις Muretus [cf. Philostr., Vita Apoll. 2, 7, 25]

9 (9 D., 10 L. B.)

Αἰσιμίδη, δήμου μὲν ἐπίρρησιν μελεδαίνων
οὐδεὶς ἂν μάλα πόλλ' ἱμερόεντα πάθοι

(I) Orion, Etym. 55, 22 Sturz s.v. ἐπίρρησις· ὁ ψόγος, καὶ ἡ κακηγορία, ἔνθεν λοιπὸν καὶ ἐπίρρητος. 'Αρχίλοχος ἐν ἐλεγείοις· [1-2], unde Etym. Flor. 122 Miller. (II) Cf. Hesych. s.v. ἐπίρρησις.

Archil. 54, 8-9 φάτιν μὲν τὴν [πρ]ὸς ἀνθρώπω[ν | μὴ τετραμήνη<ι>ς μη[δ]έν. Hom., Il. 22, 220 (cf. 9, 492) μάλα πολλὰ πά-

θοι. Tyrt. 9, 38 πολλὰ δὲ τερπνὰ παθὼν .... Mimn. 7 τὴν σαυτοῦ φρένα τέρπε · δυσηλεγέων δὲ πολιτέων | ἄλλος τίς σε κακῶς, ἄλλος ἄμεινον ἐρεῖ.

1 Αἰσιμίδη Ruhnk., Αἰσιμήδη Orion δήμου μὲν Elmsley, Diehl, Lass., δηλοῦμεν Orion, δηλήμον' Ruhnk., δειλοῦ μὲν Schneidw., Bergk, Adrados, δήιου Hoffmann ἐπίρρησιν Ruhnk., ἐπίρρησι Orion

10 (7 D., 1 L. B.)

κήδεα μὲν στονόεντα, Περίκλεες, οὔτε τις ἀστῶν
μεμφόμενος θαλίῃς τέρψεται οὐδὲ πόλις ·
τοίους γὰρ κατὰ κῦμα πολυφλοίσβοιο θαλάσσης
ἔκλυσεν, οἰδαλέους δ' ἀμφ' ὀδύνῃσ' <ἔ>χομεν
5 πλεύμονας. Ἀλλὰ θεοὶ γὰρ ἀνηκέστοισι κακοῖσιν,
ὦ φίλ', ἐπὶ κρατερὴν τλημοσύνην ἔθεσαν
φάρμακον · ἄλλοτέ τ' ἄλλος ἔχει τάδε · νῦν μὲν ἐς ἡμέας
ἐτράπεθ', αἱματόεν δ' ἕλκος ἀναστένομεν,
ἐξαῦτις δ' ἑτέρους ἐπαμείψεται · ἀλλὰ τάχιστα
10 τλῆτε γυναικεῖον πένθος ἀπωσάμενοι.

Stob. 4, 56 παρηγορικά 30 (p. 1130 Hense) Ἀρχιλόχου · [1-10].

Hom., Od. 9, 12 κήδεα .... στονόεντα. Hom., Il. 2, 209 (6, 347) κῦμα πολυφλοίσβοιο θαλάσσης. Hom. Hymn. Aphrod. 6, 4 κατὰ κῦμα πολυφλοίσβοιο θαλάσσης. Hom., Od. 11, 603 τέρπεται ἐν θαλίῃς. Hes., Op. 115 τέρποντ' ἐν θαλίῃσι. Hes., Theog. 612 καὶ ἀνήκεστον κακόν ἐστιν. Hom., Il. 15, 684 ἄλλοτ' ἐπ' ἄλλον ἀμείβεται. Hom., Od. 4, 236-7 ἄλλοτε ἄλλῳ | Ζεὺς ἀγαθόν τε κακόν τε διδοῖ. Hom., Il. 21, 466 ἀλλὰ τάχιστα. Hor., Carm. 1, 24, 19-20 sed levius fit patientia | quicquid corrigere est nefas. Hor., Epod. 16, 39 muliebrem tollite luctum.

Cf. : Philostr., Vita Apollon. 7, 26, 142 (I, p. 280 Kayser) δοκεῖτε γάρ μοι προαποκτιννύντες αὐτοὺς τοῦ καταψηφισθέντος ἂν ὑμῶν, ὡς οἴεσθε, θανάτου, [καὶ] θαρρεῖν μὲν ἃ δέδιτε, δεδιέναι δ' ἃ θαρρεῖτε. Οὐ μὴν προσήκει γε, ἀλλ' ἐνθυμηθέντας τὸν Ἀρχιλόχου τοῦ Παρίου λόγον, ὅς τὴν

ἐπὶ τοῖς λυπηροῖς καρτερίαν τλημοσύνην καλῶν θεῶν αὐτήν φησιν <εἶναι> εὕρημα [οὖσαν], ἀναφέρειν τῶν σχετλίων τούτων. Anon., De subl. 10, 7 οὐκ ἄλλως ὁ Ἀρχίλοχος ἐπὶ τοῦ ναυαγίου.

1 οὔτε Stob., οὐδὲ Gesner, Bergk ἀστῶν Stob., αὐτῶν Grotius 2 μεμφόμενος Stob., μεμνόμενος Scaliger, ἀχνύμενος Meineke οὐδὲ πόλις Stob., οὔτε πότοις Scaliger 4 ἔκλυσεν Stob. cod. B, ἔκλασεν Stob. (cod. S s. lin. υ) οἰδαλέους Stob. cod. B, ὑδαλέους Stob. ὀδύνηισ' <ἔ>χομεν Diehl, ὀδύνη ἴσχομεν Stob. cod. S, ὀδύνηις ἔχομεν Gaisford, δ' ἴσχομεν ἀμφ' ὀδύνη Stob. cod. B 5 πλεύμονας Fick, πνεύμονας Stob. 7 τάδε Liebel, τόδε Stob., Hoffmann 9 ἑτέρους Stob. cod. B, ἑτάρους Stob., ἑταίρους Stob. cod. S

11 (12 D., 2 L. B.)

πολλὰ δ' εὐπλοκάμου πολιῆς ἁλὸς ἐν πελάγεσσι
θεσσάμενοι γλυκερὸν νόστον

Schol. Apoll. Rh. 1, 824 (p. 71 Wendel) θεσσάμενοι· ἐξ αἰτήσεως ἀναλαβόντες, αἰτήσαντες· θέσσασθαι γὰρ τὸ αἰτῆσαι καὶ ἱκετεῦσαι .... καὶ Ἀρχίλοχος· [1-2].

Oppian., Cyneg. 2, 130-1 ὕδατα .... εὐπλοκάμου λίμνης. Hom., Od. 5, 335 ἁλὸς ἐν πελάγεσσι. Hom. Hymn. Diosc. 33, 15 λευκῆς ἁλὸς ἐν πελάγεσσι. Hom., Od. 22, 323 νόστοιο τέλος γλυκεροῖο.

Oppiano fisus, possis εὐπλοκάμου ad ἁλὸς referre.

1 πολλὰ δ' εὐπλοκάμου Schol. Apoll., Παλλάδ' εὐπλόκαμον Hecker, dub. Bergk, εὐπλοΐμου Liebel

12 (10, 1-2 D., 3 L. B.)

Fr. a

]ν. .ετοπ[
]ελιπεν
]ὤλεσεν α.[
]μένους
5]νοεσσα [
]εα.
]ν φιλον[
].ενος
]νασι κε[
10 εἰ κείνου κεφαλὴν καὶ χαρίεντα⌋ μέλεα
Ἥφαιστος καθαροῖσιν ἐν εἵμασιν⌋ ἀμφεπον⌊ήθη
]ιασας
]ς ἀλλά τ[
]η
15].απο.[
]ολ. .ν
]τ. .
].[

. . . .

Fr. b

. . . .

]εμ. .
ὄρ]θια δέ σφεας
]ς
ἐξ]απίνης γάρ
5]ανος
]γυναικῶν
]
ὑ]π' Ἄρηος
].

. . . .

(I) P. Oxy. 23 (1956) n. 2356, saec. p. Chr. II ex. (a) : [1-18], (b) : [1-9]. (II) Plut., Aud. poet. 6 (23 a-b) (Ἀρχίλοχος) ὅταν .... τὸν ἄνδρα τῆς ἀδελφῆς ἠφανισμένον ἐν θαλάττῃ καὶ μὴ τυχόντα νομίμου ταφῆς θρηνῶν λέγῃ μετριώτερον ἂν τὴν συμφορὰν ἐνεγκεῖν· [10-11], τὸ πῦρ οὕτως, οὐ τὸν θεὸν προσηγόρευκε.

Hom., Il. 16, 798 ἀνδρὸς θείοιο κάρη χαρίεν τε μέτωπον. Hom., Od. 4, 750 (759 ; 17, 58) καθαρὰ χροῒ εἵμαθ' ἑλοῦσα. Hom., Od. 20, 307 τάφον ἀμφεπονεῖτο.

Fr. a 5 ἀλγι]νόεσσα dub. Lobel
Fr. b 2 ὄρ]θια Lass. 4 ἐξ]απίνης Lobel 8 ὑ]π Lobel

13 (10, 3-4 D., 5 L. B.)

οὔτε τι γὰρ κλαίων ἰήσομαι οὔτε κάκιον
θήσω τερπωλὰς καὶ θαλίας ἐφέπων

(I) Plut., Aud. poet. 12 (33 a-b) πάλιν ὁ Ἀρχίλοχος οὐκ ἐπαινεῖται λυπούμενος μὲν ἐπὶ τῷ ἀνδρὶ τῆς ἀδελφῆς διεφθαρμένῳ κατὰ θάλασσαν, οἴνῳ δὲ καὶ παιδιᾷ πρὸς τὴν λύπην μάχεσθαι διανοούμενος. Αἰτίαν μέντοι λόγον ἔχουσαν εἴρηκεν· [1-2]. Εἰ γὰρ ἐκεῖνος οὐδὲν ἐνόμιζεν ποιήσειν κάκιον τερπωλὰς καὶ θαλίας ἐφέπων, πῶς ἡμῖν τὰ παρόντα χεῖρον ἕξει φιλοσοφοῦσι καὶ πολιτευομένοις καὶ προσιοῦσιν εἰς ἀγοράν .... ; (II) Tzetz., Alleg. Hom. ad Il. 24, 124 (p. 328 Boissonade) καὶ τότε καὶ βραχύχρονος εἶναι τῷ βίῳ μέλλων (scil. Ἀχιλλεύς) | ποιεῖ ὅπερ καὶ ὕστερον Ἀρχίλοχος ἐκεῖνος. | Σφῆς ἀδελφῆς γὰρ σύζυγον πνιγέντα τῇ θαλάσσῃ | περιπαθῶς ὠδύρετο .... | ὡς δὲ δακρύων κέκμηκε μάτην εἴρηκε τάδε· [1-2] | καὶ ταῦτ' εἰπὼν ἐξώρμησε πρὸς τὴν πλατεῖαν τρίβον.

Alc. 336, 2 Lobel-Page προκόψομεν γὰρ οὐδὲν ἀσάμενοι.

1 γὰρ Plut., om. Tzetz. οὔτε κάκιον Plut., οὔτε τι κάκιον Tzetz. 2 θαλίας Plut., θάλειαν Tzetz., θαλίαν Boissonade

14 (11 D., 4 L. B.)

κρύπτωμεν <δ'> ἀνιηρὰ Ποσειδάωνος ἄνακτος
δῶρα

Schol. vet. Aesch., Prom. 616 (p. 26 Dindorf) δωρεάν· δωρεὰ ἐπὶ συμφορᾶς, καὶ Ἀρχίλοχος· [1-2], unde Schol. rec. (p. 245 Dindorf).

Hom., Il. 20, 67 Ποσειδάωνος ἄνακτος. Palladas, Anth. Pal. 9, 165, 1-2 γυνὴ .... | δῶρον ἀνιηρόν.

1 κρύπτωμεν <δ'> Schneidw., κρυπτῶμεν Schol. vet. Aesch. Robortellus, κρύπτομεν Schol. vet. cod. M Ποσειδάωνος Schneidw., Ποσειδῶνος Schol. vet. Aesch. Robortellus, Schol. rec. cod. A

°15 (13 D., 6 L. B.)

Γλαῦκ', ἐπίκουρος ἀνὴρ τόσσον φίλος ἔσκε μάχηται

Aristot., Eth. Eud. 7, 2, 14 p. 1236 a 33 τούτων ἡ μὲν διὰ τὸ χρήσιμόν ἐστιν ἡ τῶν πλείστων φιλία· διὰ γὰρ τὸ χρήσιμοι εἶναι φιλοῦσιν ἀλλήλους καὶ μέχρι τούτου, ὥσπερ ἡ παροιμία· [1].

Archilocho tribuit Bergk.

τόσσον φίλος Fritzsche, τὸν σὸν φίλον Aristot. ἔσκε Aristot., ἔστε Fick

16 (15 D., 11 L. B.)

συκέη πετραίη πολλὰς βόσκουσα κορώνας
εὐήθης ξείνων δέκτρια Πασιφίλη

Athen. 13, 66 (594 b-d) διαβόητος δ' ἑταίρα γέγονε καὶ ἡ Μιλησία Πλαγγών .... Ἴωνες ἀγασθέντες .... Πασιφίλαν ἐκάλεσαν τὴν Πλαγγόνα. Μαρτυρεῖ δὲ καὶ Ἀρχίλοχος περὶ αὐτῆς ἐν τούτοις· [1-2].

Anacr. 108 Gentili φίλη γὰρ εἰς | ξείνοισ'· Fr. iamb. adesp. 8 Ξάνθη παλαιῇ γρηὶ πολλῇσιν φίλη.

Milesia Plangon, celeberrima lena, mediae, quae dicitur, comoediae temporibus vixit, Archilochus ergo de altera Pasiphila egit.

1 συκέη Page, συκῆ Athen. 2 πᾶσι φίλη Hiller

17 (18, 1-2 D., 17 L. B.)

ἥδε δ' ὥστ' ὄνου ῥάχις
ἕστηκεν ὕλης ἀγρίης ἐπιστεφής

Plut., De exil. 12 (604 b-c) ἀλλ' ἡμεῖς, καθάπερ Ἀρχίλοχος τῆς Θάσου τὰ καρποφόρα καὶ οἰνόπεδα παρορῶν, διὰ τὸ τραχὺ καὶ ἀνώμαλον διέβαλε τὴν νῆσον εἰπών· [1-2], οὕτω τῆς φυγῆς πρὸς ἓν μέρος τὸ ἄδοξον ἐντεινόμενοι παρορῶμεν τὴν ἀπραγμοσύνην καὶ τὴν σχολὴν καὶ τὴν ἐλευθερίαν.

Soph., Oed. R. 477-8, Oed. Col. 348-9 ἀγρίαν ὕλην (ὕλαν Oed. R.).

2 ἀγρίης Bergk, ἀγρίας Plut.

18 (18, 3-4 D., 18 L. B.)

οὐ γάρ τι καλὸς χῶρος οὐδ' ἐπίμερος
οὐδ' ἐρατός, οἷος ἀμφὶ Σίριος ῥοάς

(I) Athen. 12, 24 (523 d) καὶ Ἀρχίλοχος δ' ὁ ποιητὴς ὑπερτεθαύμακε τὴν χώραν τῶν Σιριτῶν διὰ τὴν εὐδαιμονίαν. Περὶ γοῦν τῆς Θάσου λέγων ὡς ἥσσονός φησιν· [1-2]. (II) Cf. Hesych. s.v. ἀμφ' Ἀκίριος ῥοάς.

Semon. 7, 51 κείνῃ γὰρ οὔ τι καλὸν οὐδ' ἐπίμερον. Hom., Il. 11, 732 ἀμφὶ ῥοὰς ποταμοῖο.

frr. 17-18 coniunxit Bergk.

1 ἐπίμερος Schneidw., ἐφίμερος Athen. 2 ἀμφὶ Σίριος Athen., ἀμφ' Ἀκίριος Hesych. An ἀμφὶ Κίριος? Schneidw.

19 (19 D., 280 L. B.)

κλαίω τὰ Θασίων, οὐ τὰ Μαγνήτων κακά

(I) Heracl. Pont., Pol. 22 (p. 20 Schneidw.) Μάγνητες δι' ὑπερβολὴν ἀτυχημάτων πολλὰ ἐκακώθησαν· καί που καὶ Ἀρχίλοχός φησι· [1]. (II) Strab. 14, 40 (647) Καλλῖνος μὲν οὖν ὡς εὐτυχούντων ἔτι τῶν Μαγνήτων μέμνηται καὶ κατορθούντων ἐν τῷ πρὸς τοὺς Ἐφεσίους πολέμῳ, Ἀρχίλοχος δὲ ἤδη φαίνεται γνωρίζων τὴν γενομένην αὐτοῖς συμφοράν· [1], ἐξ οὗ καὶ αὐτὸν νεώτερον εἶναι τοῦ Καλλίνου τεκμαίρεσθαι πάρεστιν.

proverbium ex Archilocho ortum est τὰ Μαγνήτων κακά: Iulian., Orat. 7, 210 d, unde Suda s.v. Μαγνήτων κακά, Apostol. 16, 8, unde Arsen. 48, 72 (II p. 657 Leutsch).

Cf.: Clem. Alex., Strom. 1, 131, 7-8 (p. 82 Stählin[3]) Σιμωνίδης μὲν οὖν κατὰ Ἀρχίλοχον φέρεται, Καλλῖνος δὲ πρεσβύτερος οὐ μακρῷ· τῶν γὰρ Μαγνήτων ὁ μὲν Ἀρχίλοχος ἀπολωλότων, ὁ δὲ εὐημερούντων μέμνηται. Athen. 12, 29 (525 c) ἀπώλοντο δὲ καὶ Μάγνητες οἱ πρὸς τῷ Μαιάνδρῳ διὰ τὸ πλέον ἀνεθῆναι, ὥς φησι Καλλῖνος ἐν τοῖς ἐλεγείοις καὶ Ἀρχίλοχος· ἑάλωσαν γὰρ ὑπὸ Ἐφεσίων.

κλαίω Heracl. Pont., κλαίειν Strab., probv. Gaisford   Θασίων Tyrwhitt, θαλασσῶν Heracl. Pont., θάσσων Strab., θάσων Strab. cod. F   οὐ Heracl. Pont., οὗ Strab.

20 (20 D., 249, 2 L. B.)

καί μ' οὔτ' ἰάμβων οὔτε τερπωλέων μέλει

Tzetz., Alleg. Hom., ad Il. 24, 124 (p. 328 Boissonade) σφῆς ἀδελφῆς γὰρ σύζυγον πνιγέντα τῇ θαλάσσῃ | περιπαθῶς ὠδύρετο (scil. Ἀρχίλοχος), γράφειν μὴ θέλων ὅλως, | λέγων πρὸς τοὺς βιάζοντας συγγράμμασιν ἐγκύπτειν· [1].

Eleg. adesp. 9 οὔ μοι ἔτ' εὐκελάδων ὕμνων μέλει οὐδ' ἔτι μολπῆς. Hor., Epod. 11, 1-2 Petti, nihil me sicut antea iuvat | scribere versiculos amore percussum gravi.

